ἣν τὰ εἴδωλα, καὶ οὕτως εἰσῆλθεν εἰς αὐτὴν ὑμνῶν καὶ εὐλογῶν.
[48]καὶ ἐξέβαλεν ἐξ αὐτῆς πᾶσαν ἀκαθαρσίαν καὶ κατῴκισεν ἐν αὐτῇ 48
ἄνδρας, οἵτινες τὸν νόμον ποιήσωσιν, καὶ προσωχύρωσεν αὐτὴν
καὶ ᾠκοδόμησεν ἑαυτῷ ἐν αὐτῇ οἴκησιν.
[49]Οἱ δὲ ἐκ τῆς ἄκρας ἐν Ιερουσαλημ ἐκωλύοντο ἐκπορεύεσθαι 49
καὶ εἰσπορεύεσθαι εἰς τὴν χώραν ἀγοράζειν καὶ πωλεῖν καὶ ἐπεί-
νασαν σφόδρα, καὶ ἀπώλοντο ἐξ αὐτῶν ἱκανοὶ τῷ λιμῷ. [50]καὶ 50
ἐβόησαν πρὸς Σιμωνα δεξιὰς λαβεῖν, καὶ ἔδωκεν αὐτοῖς · καὶ ἐξ-
έβαλεν αὐτοὺς ἐκεῖθεν καὶ ἐκαθάρισεν τὴν ἄκραν ἀπὸ τῶν μιασμά-
των. [51]καὶ εἰσῆλθον εἰς αὐτὴν τῇ τρίτῃ καὶ εἰκάδι τοῦ δευτέρου 51
μηνὸς ἔτους πρώτου καὶ ἑβδομηκοστοῦ καὶ ἑκατοστοῦ μετὰ αἰνέ-
σεως καὶ βαΐων καὶ ἐν κινύραις καὶ ἐν κυμβάλοις καὶ ἐν νάβλαις
καὶ ἐν ὕμνοις καὶ ἐν ᾠδαῖς, ὅτι συνετρίβη ἐχθρὸς μέγας ἐξ Ισραηλ.
[52]καὶ ἔστησεν κατ᾿ ἐνιαυτὸν τοῦ ἄγειν τὴν ἡμέραν ταύτην μετὰ 52
εὐφροσύνης. καὶ προσωχύρωσεν τὸ ὄρος τοῦ ἱεροῦ τὸ παρὰ τὴν
ἄκραν · καὶ ᾤκει ἐκεῖ αὐτὸς καὶ οἱ παρ᾿ αὐτοῦ. [53]καὶ εἶδεν Σιμων 53
τὸν Ιωαννην υἱὸν αὐτοῦ ὅτι ἀνήρ ἐστιν, καὶ ἔθετο αὐτὸν ἡγού-
μενον τῶν δυνάμεων πασῶν · καὶ ᾤκει ἐν Γαζαροις.
[1]Καὶ ἐν ἔτει δευτέρῳ καὶ ἑβδομηκοστῷ καὶ ἑκατοστῷ συνήγαγεν 14
Δημήτριος ὁ βασιλεὺς τὰς δυνάμεις αὐτοῦ καὶ ἐπορεύθη εἰς Μη-
δίαν τοῦ ἐπισπάσασθαι βοήθειαν ἑαυτῷ, ὅπως πολεμήσῃ τὸν Τρύ-
φωνα. [2]καὶ ἤκουσεν Ἀρσάκης ὁ βασιλεὺς τῆς Περσίδος καὶ Μηδίας 2
ὅτι εἰσῆλθεν Δημήτριος εἰς τὰ ὅρια αὐτοῦ, καὶ ἀπέστειλεν ἕνα τῶν
ἀρχόντων αὐτοῦ συλλαβεῖν αὐτὸν ζῶντα. [3]καὶ ἐπορεύθη καὶ ἐπά- 3
ταξεν τὴν παρεμβολὴν Δημητρίου καὶ συνέλαβεν αὐτὸν καὶ ἤγαγεν
αὐτὸν πρὸς Ἀρσάκην, καὶ ἔθετο αὐτὸν ἐν φυλακῇ.
[4]Καὶ ἡσύχασεν ἡ γῆ Ιουδα πάσας τὰς ἡμέρας Σιμωνος, καὶ 4
ἐζήτησεν ἀγαθὰ τῷ ἔθνει αὐτοῦ, καὶ ἤρεσεν αὐτοῖς ἡ ἐξουσία
αὐτοῦ καὶ ἡ δόξα αὐτοῦ πάσας τὰς ἡμέρας. [5]καὶ μετὰ πάσης τῆς 5
δόξης αὐτοῦ ἔλαβεν τὴν Ιοππην εἰς λιμένα καὶ ἐποίησεν εἴσοδον
ταῖς νήσοις τῆς θαλάσσης. [6]καὶ ἐπλάτυνεν τὰ ὅρια τῷ ἔθνει αὐτοῦ 6
καὶ ἐκράτησεν τῆς χώρας. [7]καὶ συνήγαγεν αἰχμαλωσίαν πολλὴν 7
καὶ ἐκυρίευσεν Γαζαρων καὶ Βαιθσουρων καὶ τῆς ἄκρας · καὶ ἐξ-
ῆρεν τὰς ἀκαθαρσίας ἐξ αὐτῆς, καὶ οὐκ ἦν ὁ ἀντικείμενος αὐτῷ.

48 ποιησωσιν Spau.] ποιουσιν Apl. || 49 εν] pr. οι SL | -πορευεσθαι 1⁰ ⌒ 2⁰ A | αγοραζειν SV†] pr. και rel. | τω λ(ε)ιμω SVpau.] τη λ. Apl.: cf. 9 24 || 51 εισηλθον SLLa] -θεν Apl. | του δευτ. μηνος] του μ. του δευτ. SL | πρωτου SV†] ενος rel. (και seq. > S†) || 52 μετ(α) ευφροσ. > A† || 53 υιον] pr. τον A

14 1 επισπασασθαι] σα > A† | εαυτω] ε > S* || 2 αρσικης S† | της > A | οτι] οτε S*† | εισηλθεν S*VLa†] εισ > rel. || 3 και ult. — fin. > S*† || 4 ιουδα SVLa†] > rel. || 5 νησοις] νοσοις S*†, ναυσι L || 6 αυτου] τουτω S*† || 7 εκυριευσεν] συνηγαγεν S†

SLUB Wir führen Wissen. http://digital.slub-dresden.de/id416246419/1143 UNIVERSITÄT LEIPZIG